P V I S

1 6 0 5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-455684-p0001-7

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-455684-p0002-3

XXIIII

22

*CARMEN GRATVLATORIVM*

# IN NATALEM RECENS NATI PRINCIPIS FRANCISCI GEORGII, FILII ILLVSTRISSIMI PRINCIPIS *ac Domini, Domini* BERNHARDI, *Principis Anhaltini, Comitis Ascaniæ, Dominiq; Seruestæ & Bernburgi, &c. Domini sui clementißimi.*

SCRIPTVM

À

*M. WOLFGANGO AMLINgio, Seruestæ ad Diuum Barthollem. Ludimoderatore.*

M. F.

x.

Vitebergæ excudebat Iohannes Crato.

ANNO M. D. LXVII.

39

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-455684-p0003-8

# ΕΥΦΗΜΙΑΣ ΜΕΤRΟΝ

## ἘΙΣ ΤῊΝ ΓΈΝΕΣΙΝ ΤΟΥ͂ ΝΈΟΥ ἩΓΕΜΌΝΟΣ

τοῦ Βραγκίσκου Γεωργίου· υἱοῦ τοῦ λαμπροτάτου ἅμα, καὶ εὐσεβεστάτου, καὶ παντοίαις ἀρεταῖς εἰς πλάτος κεκοσμημένου Ἄρχοντος, καὶ κυρίου, τοῦ Βερνάρδου, τοῦ ὀρχάμου Ἀναλδέως, τῆσδε Ἀσκανίης Κωμάρχου, καὶ τοῦ τῶν δυεῖν κλυτῶν, ἤγουν τῆς Ἀρκτοπύργου, καὶ τῆς Ζερβεστῆς πόλεων κοιράνου· Τοῦ Δεσπότου ἡμῶν ἠπιωτάτου.

Ἤδη Ληνοβάτης μὲν ἀπέτρεπεν οἴκαδε βότρυς,
δῶρα Διωνύσου πολυγηθέος, ἡνίκ' ἀφ' ἡμῶν
λοξὸς, ἑκηβολέτης, Ὑπερίονος ἀγλαὸς υἱός
σπεῦδεν ἐς Ἀντίποδας τέθριππα τάδ' ἅρματα κάμψειν,
οὐδ' ἔτι πυροφόρου φυσίζοον οὖδας ἀρούρης
ἀκτίνεσσιν ἑῆς ἐπεδέρκετο, ὡς τὸ πάροσπερ.
Τῆμος ἐγὼ μόχθοισι τετρυμμένος, οἶος ἀπ' ἄλλων
ἄλσει ἐν σκιερῷ ὁδὸν εἶχον· ἐπεὶ πολύμοχθον,
καὶ πόνου ἐστὶ πλέον, τὰ γράμματα πρῶτα διδάσκειν.
Ὡς δ' ἄφυλλον ἴδον δὴ νήριτον ἄμπελον ὕλην,
ταῦτα προσλαλέειν ἀκεὼν μοι ἤρξά γε θυμῷ·
Ἠνίδε κύκλον ἄγουσιν ἀεὶ χρυσάμπυκες ὧραι.
τηλεθόει γὰρ ἔαρ· τὸ θέρος δ' αὖ τὰ λήια καύσαν
πυρναίης ἐπάγει λευκῇσι θερισμὸν ἀλωαῖς.
εἶτα φέρει μήλων πολὺν ἄφθονα καρπὸν ὀπώρη.
λοίσθιον ἀλλὰ χιὼν αὖ δένδρου κόσμον ἀπαυρεῖ.
Ὡς κύκλος ἀνδρομέοις ἐνὶ πράγμασιν ἐστὶ καὶ αὐτοῖς,
νῦν μὲν εὐφροσύνης ἐπιβάς, νῦν δ' ἄλγεος αἰνοῦ,
οὐδὲ τὸν αὐτὸν ἐὼν νυ ἀκηδέα θυμὸν ἔχοντα,
νόσφιν, ἄτερθε πόνων, τοῦ χάρματος οἴου ὄνασθαι.
αὐτὰρ ἑκάστη ἑὴν κακίαν χεῖ Δαίμονος ὥρη.
Πᾶς μὲν ἐπακμάζων ἴδια φρονεῖ, ἄμμορος αἰσχοῦ,

καὶ

καὶ γοεροῖο· ἐπὴν δ' εἰς ἀκμὴν ἵκετο ἀνὴρ,
πράττει ἄριστα μένει, καὶ φραδμοσύνῃσιν ἰανθείς.
τοῦτο βίου γὰρ ἔαρ. βραχὺ δέ; ἀλλὰ γλύκιστον ἐπ' αἴης,
ἀγλαΐας τε πλέον, θαλίης τε, εὐφροσύνης τε.
τὰς ΧΑΡΙΤΑΣ πάλ' ἔλεξαν οἱ ἔμφρονες. ἀλλὰ μετ' ἀκμὴν
ἐκ νόσου ἀσθενία, καὶ ΓΗΡΑΣ ὁμοίιον ἧκε.

Ταῦτα μόνος τότ' ἰὼν μελεδήματα φράδμονι σιγῇ,
φάρμακα τοῖς μόχθοις, τρίβεσκον ἅμ' ἠελίου δὲ
δύντος, οἱ ἑσπέριοι ἔριφοι λίπον οἴνοπα πόντον.
χ' Ὠρίων πολιῷ ἐπὶ ὠκεανῷ πόδας ἴσχεν,
ἁνίκα Φοῖβον ὁρῶ Μουσῶν στείχοντα πάροιθεν
ἐννέα θυγατέρων μεγάλου ΔΙΟΣ ἀγλαεθείρων.
αἳ καλὰ μελπόμεναι καινῷ τινὶ γάθει θυμὸν
πίμπλησάν μοι ἄφαρ, τὰ δὲ λυγρὰ ἅπαντα ἄφειλον,
τὸν νέον ὑμνήσασαι ἀοιδαῖς ΠΟΙΜΕΝΑ λαῶν.

Αἶψα δὲ φόρμιγγος περικάλλους Φοῖβος ΑΠΟΛΛΩΝ
ἠθάδα χρυσοκόμοις φωνὴν μελέεσσι προσέπλεν.
ἣν δὲ καλῶς μέμναμαι, ἔην ὕμνος πανάριστος,
τὸν μούσαις μὲν ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
ὡς δὲ ἐπαρξάμενος ΦΟΙΒΟΣ κιθάρηφι μέμολπεν.

ΑΠΟΛΛΩΝ.

Ἐκ ΔΙΟΣ ἀρχώμεσθα· ΔΙΟΣ γένος ἐσμὲν ἅπαντες.
αὐτὸς ἐπεὶ γενετήρ· ὃς κάκλισεν οὐρανὸν αἰπὺν,
ἠελίῳ, μήνῃ τε διαυγέα, θαῦμα μέγιστον.
τρὶς δὲ, δίκην Δάπιδος, τρεῖς ἀστερόεντος ὀλύμπου
ἐκλαύνυσεν πτύχας, στέγος ἔμμεν ἐπὶ χθονὶ ζώντων.
ταῖς δ' ὕπο ἠνεκέως πυρόεντα κυκλώσατο κύκλον,
ἠέρα χασσάμενος. γαῖαν δὲ ποίησε θέμεθλον,
καὶ κέντρον μέσσον εἶναι· ἐν ἀγκαλίδεσσι δὲ γαίης
πόντον ἔδησε πολύφλοισβον, χθόνα δ' ἀτρυγέτοιο
ὠκεανοῦ βαθύκολπον, ἔτευξε περίρρυτον ἅλμαις.

Ὣς δ' ὅγε κόσμος ἔην, ΓΗ, κ' οὐρανὸς, ἠδὲ θάλασσα.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-455684-p0005-0

οὐρανίοις φαέεσσι κεκασμένος οὐρανὸς αἰπύς,
πόντος τε πλωτοῖς, πεζοῖς ζείδωρος ἄρουρη.
δὴ τότε ὑψιμέδων ζεύς ἅρμενα πάντα νοήσας
τέρπετο. καὶ σοφίης ἐπιίστορα μητέρος ἁπάντων
δίζετο, τῶν χθονίων ταμίην, καὶ μοῖραν ἀφέλκων
ἐκ χοὸς ἀνδρογόνου, χοϊκὴν ἐστήσατο μορφήν.
πνεῦμα δ' ἐνῆκε, φρενὸς θείας τόπερ ἐστὶν ἀπορρώξ.
ὡς γένετο βροτός, ὢν θεοειδὲς ἄριστον ἄγαλμα.
αὐτὰρ ἔδει μιν ἔχειν ζωῆς τιν' ἀρωγὸν ὁμοῖον,
μουνάδα οὐ διάγειν βιοτὰν. διόπερ παράκοιτιν,
πλευρὴν ἐκ λαγόνων μίαν, ᾠκοδόμησεν, ἀπούρας.
ῥίζα μὲν οὗτοι ἔσαν μερόπων, καὶ σπέρμα γενέθλης
ἀνδρομέης. ΘΕῸΣ ἀλλὰ σοφῶς τάδ' ἅπαντα προέγνω.
καὶ σκήπτροιο σέβας βασιλήιον ἐγγυάλιξεν
ἐν παλάμῃς φορέειν, καὶ θέσφατα ῥητὰ θεμίστων
εἴρυσθαι, φαύλοισι φόβῳ, ἀγαθοῖς δ' ἐπ' ἐπαίνῳ.
ἔνθεν ἐπουράνιον φρονίμων γένος ἦλθεν ἀνάκτων,
ἐκ ΔΙῸΣ, ἀρχούτης ὅς ἔφυ τ' ἴχυος ἀρχή.
οὔτε γὰρ βασιλεύς τι ὁμοίης ἔμμορε τιμῆς,
ζεὺς ὑψιβρεμέτης κῦδος τε οἱ αὐτὸς ἔδωκεν.
ὃς ταμίας ποίησε δίκης, καὶ ὑπείροχα ἄλλων
στῆσεν. ὅπως θεσμοῖς ἐν ἀπήμοσι τάξιος αἰὲν,
ἁρμονίας κατὰ μοῖραν, ἐν οὐκ ἀσχήμονι κόσμῳ
πάντα μένῃ, δίχα συγχύσεων στυγεροῦ θορύβοιο.
Οὔτε γὰρ οὔτε κεν ἄλλη, ἄνευ σκηπτούχου ἄνακτος,
ἤ πόλεες πόλεσι ξυνδεῖντ', ἤ ξυμμαχέοντι
ξύμμαχος, ἠὲ φίλος φίλῳ, ἠὲ ἑταῖρος ἑταίρῳ.
ἀλλὰ κόνις μία πάντα καὶ οὐδενὸς οὐδὲν ἀκούσῃ
οὐδείς. ὥς θηρσίν τε φέρτερον οὐρεσιφοίτοις
συνναίειν. τὰ δὲ σκῆπτρον ἄνακτος ἅπαντα σάωσεν.
ἕρκος ἐπεὶ πολέων, ΝΌΜΟΣ, ἐστὶ νόμος λάλος ἌΡΧΩΝ.
σιγαλέος δ' ἄρχων ὁ ΝΌΜΟΣ. σωτήρια πάντα,

τὴν

κὺ νόμ☉, ἠδ' ἄρχων νόμιμ☉, φρόνιμός τέ τις ἀρχή.
Ταῦτα λέγω, τάδ' ἀτρεκέως ἀγορεύω ἅπαντα.
σήμερον ἀλλὰ τέκεν υἱὸν σκηπτοῦχον ἄνακτα,
ποιμένα ἐσσόμενον λαοῦ Δέσποινα Φερίστη.
τίς γ' οὖν γηθομένων μὴ ἀγαλλόμεν☉ φρενόθεν κῆρ,
ὑψιμέδοντι θεῷ χαρίτων χρέ☉ οὐκ ἀποτίσθη;
Ὑμεῖς δ' οὐρανίαι ΔΙΟΣ αἰγιόχοιο θύγατρες,
ὦ θεαὶ ἡδυεπεῖς, γλαυκώπιδες, ἵστορες ᾠδῆς,
τὸν νέον ἀσπασίως ὑποδέχθετε ὌΡΧΑΜΟΝ ἈΝΔΡΩ͂Ν.
σμικρὸν ἔτι, χρηστοῦ δὲ πατρὸς χαριέστατον ὄζον.
ἡμετέροιο τροφεὺς ἔπειτ' χοροῦ ἄσμεν☉ ἔσαι.

ΚΛΕΙΩ͂.

Χαῖρε ΠΑΙ͂Σ, μεγάλου δώρημα δοτῆρ☉ ἐάων
ἐκ πατρὸς οὐρανίου, ὦ πολύευκτε γόν☉.
χαῖρε, μέγας τε γίνου δοῦλ☉ χριστοῖο ἄνακτ☉,
ὅς σωτὴρ μερόπων, καὶ πατρὸς ἐστι ΛΟΓΟΣ.
εἶγε δ' ἐς εὐρὺ πύλας τῷ υἱεῖ παντοκράτορ☉,
τῷ μόνῳ ἰφθίμῳ κυρίῳ ἐν πολέμοις.

ΜΕΛΠΟΜΈΝΗ.

Ὦ παῖ Φέριστε χαῖρε τρὶς, καὶ τετράκις,
σμικρὸν φανεὶς ἄγαλμ' ἐπὶ χθονὸς θεοῦ,
σκηπτοῦχε καινὲ, τοῖς δὲ πατρὸς ἴχνεσιν
ἐμβὰς, ἀληθῆ μάνθανε εὐσέβειαν τίειν.
καὶ χάριτ☉ ὄργανον σωτήριον γίνου.
ὅπως δίκαι☉ ὢν δίκης στέφ☉ λάβῃς.

ΘΆΛΕΙΑ.

Ἄρχεο γνωρίζειν γελόων τὴν μητέρα πότναν,
φά☉ ἐς νεωστὶ τεχθὲν ἡλίου βρέφ☉.
δέσποτα τηλιφανὲς, πολύμοχθον ὑπὸ πραπίδεσσιν,
ἐπεὶ σε κεδνὴ φορτίον μήτηρ φέρεν.
νῦν δ' ἄρα τεξαμένη σε φίλον παλιναυξέι πάτρῃ
λαῶν μὲν ὄρχαμον, καλόν τε ποιμένα.

τῆς προτέρας ὀδύνης ἀπεσείσατο ἄχθος ἁπάσης,
λαβοῦσα μισθὸν ὠδίνων δυσαλγέων.

## ΕΥΤΕΡΠΗ.

Ὦ Δέσποινα μάκαρ θεραπόντων χάρματα θυμῷ,
ὡς σὺ πολλὰ φέρεις νηδύος ἐξ ἀδύτων.
σήμερον ἐβλάστησεν ἐπεὶ βασιλήιον ἔρνος,
οἷάπερ ἐκ ῥίζης, ὦ γενέτειρα σέθεν.
ΖΕΥΣ ῥώμην δ', ἴσχυν τε, μένος τέ σοι αὖθις ὀφέλλοι,
παμπλείστους τέξῃς ΠΟΙΜΈΝΑΣ ὄφρα λεῶν.

## ΤΕΡΨΙΧΌΡΗ.

Τέρπου ὦ ΓΕΝΕΤῊΡ, χθονὸς ΔΥΝΆΣΤΩΡ,
ὦ βουλῇ δ' ὁμῶς φέρων, κράτει τε.
καὶ ὑψιβρεμέτῃ πόλων ἄνακτι
καρτίστῳ χαρίτων χρέος τίταινε.
ὅς σοι γ' ἁβρόχροον βρέφος, φίλον τε,
τρίλλιστον, χαριέστατον, παρεῖχε.
τῷ σου κληρονόμῳ λιπεῖς τὰ σκῆπτρα,
καὶ στάθμην ἱεροῦ ΝΌΜΟΝ δικαίου.

## ἘΡΑΤΏ.

Οἷον ἠχώδης ἑλικὼν νεωστὶ
ἐν δρυμοῖς ἤκουσε βαθυξύλοισι,
βάρβιτ' ὦ εὔκρεκτ' ἀπόδος μέλισμα
νῦν γε ὁμοῖον.
Ποικιλότραυλον λύρα ὦ τι ᾆσμα
ᾆδε, ταῖς κούραις πρέπον ἐννέ' ἡμῖν.
ἄρτι γὰρ καινὸν τέκε κράντορ' αἴης
πότνια γυναικῶν.
Πολλὰ μὲν κόσμου ναέταισιν αἰεὶ
δῶρα ζεὺς Δωτὴρ δίδοται ἑάων.
μυρίων δ' ἄλλων πέρι χρηστός ἐστιν
ὄρχαμος ἀνδρῶν.

ΚΑΛ-

ΚΑΛΛΙΟΠΗ.

Τί δ' οὖν ἀνάγκη σοι μέγα στῆσαι κλέος
ὦ παῖ; γονεὺς τὸν εὐσεβῆς, καὶ πάνσοφος
ἁγνὴν ἐς ἁγνῆς σπεῖρε νύδην μητέρος.
δεκάμηνος ὠδίνων τεκούσης ὦ πόνος,
σοὶ μὲν θεὸς κράτιστος, ἠδὲ βέλτατος
δώῃ ἕπεσθαι τοῖς γονήων ἴχνεσιν.
ὡς σκεῦος ἔσσῃ πατρίδος σωτήριον.

ΟΥΡΑΝΙΑ.

Ἕξεις οὐράνιον πόλιν
ὦ παῖ, καὶ στέφανον κλέους·
ἣν τοῖς ἐμμαπέως νόμοις
θείου ῥήματος ἐμμενῶν,
καὶ ἴσχων πίστιν ἀκλινέα,
ΧΡΙΣΤΟΝ κηρόφιν εὐσεβῆς.

ΠΟΛΥΜΝΕΙΑ.

Χαῖρε δή, ἐπὶ λουτροῖς βαπτίσματος ἔμφυλε ΧΡΙΣΤῼ,
τῷ ΛΟΓῼ, ἀιδίου ἀμπέλῳ ὄντι βίου.
χαῖρε, καὶ εὐσεβέως τμηθεῖσιν ἄρ' ἔμμενε ὅρκοις,
αἰχμητὴς κρατερὸς, κεδνὸς ἠδ' ἀρχὸς ἐών.
οὐ γὰρ ἄεργον ἔμμεν χρὴ, ἀλλὰ μάλ' ἶφι στρατεύειν,
ὅστις ἐνὶ κλισίαις ἡγεμόνευσε ΛΟΓΟΥ.
σοὶ δὲ ΛΟΓΟΣ μεγάλοιο πατρὸς παῖς αὐτὸς ἀέξοι,
ἐν πραπίδεσσι μένος, μητίεταο ΘΕΟΥ.
καὶ ἰδίαις σε πέριξ αἷς ὠμοπλάτῃσι καλύπτων,
ἀρχὴν πληθῆος σῶν διὰ φθείροι ὅπλων.

ΕΠΙΛΟΓΟΣ.

Ὣς μὲν Ὀλυμπιάδες μοῦσαι, Διὸς αἰγιόχοιο
θυγάτερες λιγυρῆς, φίλον ὄρχαμον, υἱὸν ἀρίστου
πατρὸς, ἀμειβόμεναι νέον ὑμνήσαντο ἀοιδαῖς.
τηλόθεν ἐξ ἑλικῶνος ὄρους· ἀπὸ πατρίδος αἴης,
ἑλλάδος ἐρχόμεναι, χώρης ἀπὸ κυδιανείρας.

Αὐτὰρ

Αὐτὰρ ἐγὼ κάλαμον μάρψας, καλὰ μελπομενάων
μουσᾶν ποιμενικᾶν ὡς ἤκοα, ὡς διέγραψα
χερὶ μάλ' ὀξυγράφῳ. Σὺ δὲ ἀσπασίως ὑπόδεξο
ὦ βρέφεος σκηπτοῦχε πάτερ. μηδ' ἑλλάδ' ἄτιοσον,
ὥσπερ οἱ ἡμίσοφοι, ἢ μὴ σοφοὶ, ἄφρονι λύσσα,
δοξομανεῖς μισοῦσι τέχνην, τὰν οὐ μάθον αὐτοί.
ἀλλὰ τύ μὴ κρίνειν τὸν νήπιον ἄνδρα ἐάσεις.

Τῆς ΣΟΦΊΗΣ ἑλλὰς πρώτη γενέτειρα τέτυκτο,
τοὔνεκ' ἐγὼ μητρὸς τὰν παρθένον ἑλλάδος ἀγνὴν,
καίπερ ἐὼν ψελλὸς, ΣΟΦΊΗΝ τάσδ' ἐννέα ΜΩ͂ΣΑΣ
ἀονίδας περὶ κῆρι μάλιστα δὲ Δωρίδα Νύμφαν,
τὰν λιγυρόφθογγον στέργω, κώρην τε ἄχραντον.
ἥτις ἐμὲ πρώτη τὰ μελύδρια ἐξεδίδαξεν
βωκολέειν. καὶ τοῦτό με κέκλετο ὀξέι χερὶ
Πιερίδων μέλος ἐκγράψαι. τόδε ἐξεπόνασα.
καὶ δώρημα τεΐν, κύδιστε, μέγιστέ τε ὦναξ,
λεπτὸν μὲν, σμικρόν τ', ἀλλ' ὡς ἐμὸς οἶκος ὑπάρχει,
τοῖον ἔγωγε φέρω. Σὺ δὲ πρόφρονι δέξο ἀοιδὰν
θυμῷ, τῇ σε γέραιρεν Ἀπόλλωνος χορὸς αἰπύς.

Οὐ γὰρ ἀπόβλητον σεμνᾶν γέρας ἔπλετο μουσᾶν,
ταῖς μέλει ἀθανάτους ὑμνεῖν, καὶ ἤθεα κεδνὰ
ἀνδρῶν εὐσεβέων, τοῖς δ' οὐ φίλον αἴσυλα ῥέζειν.
ἐκ ΜΟΙΣᾶΝ δ' ἀγαθὸν κλέος ἔρχεται ἀνδράσιν αἰεί.

ΤΈΛΟΣ.

*Nascitur Illustrissimus Princeps Dessauij, XVII. Calend. IXbris, inter horam X. & XI. post M. Anno, quem indicat dictio*

DILVVIVM.

*Vel potius sententia,*

FIat VoLVntas tVa DoMIne.

α φ ξ ζ.

Τῷ Θεῷ τῷ μονοσόφῳ δόξα.

If 4600

ULB Halle 3
003 299 04X

Sb.

VD17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-455684-p0011-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-455684-p0012-8

ARMEN GRATVLA-
TORIVM

ATALEM RECENS
RINCIPIS FRANCISCI GEOR-
II ILLVSTRISSIMI PRINCIPIS
Domini BERNHARDI, *Principis Anhal-*
*Comitis Ascaniæ, Dominiq; Seruestæ &*
*Bernburgi, &c. Domini sui cle-*
*mentissimi.*

SCRIPTVM
À
*OLFGANGO AMLIN-*
*Seruestæ ad Diuum Bartho-*
*lem. Ludimoderatore.*
M. F.

tebergæ excudebat Iohannes
Crato.

ANNO M. D. LXVII.